*οἰκίας ἐβύθισε· χρησμὸς δ' ἐδόθη λήξεσθαι, ἐὰν τὸ
τίμι⟨ώτατ⟩ον ἐμβάλωσι. τῶν δὲ χρυσὸν καὶ ἄργυρον ἐμβα-*
**307** *λόντων, | Κούρτιος τῶν ἐπισήμων νέος τὸν χρησμὸν
νοήσας καὶ λογισάμενος τὴν ψυχὴν τιμιωτέραν, ἔφιππον
ἑαυτὸν ἔρριψεν εἰς τὸ χάσμα καὶ τοὺς οἰκείους ἐξέσωσε
τῶν κακῶν· ὡς Ἀριστείδης ἐν τεσσαρακοστῷ Ἰταλικῶν*
(FHGr. IV 321).

**6 A.** *ΤΩΝ ἅμα Πολυνείκει εὐωχουμένων λοχαγῶν
ἀετὸς καταπτὰς τὸ Ἀμφιάρεω ἐβάστασε δόρυ εἰς ὕψος
καὶ εἴασε· τὸ δὲ παγὲν ἐν γῇ δάφνη ἐγένετο. τῇ δ' ὑστε-
ραίᾳ πολεμούντων κατ' ἐκεῖνο κατεπόθη ὁ Ἀμφιάρεως
⟨αὐτῷ⟩ τῷ ἅρματι, ἔνθα νῦν πόλις Ἅρμα καλεῖται·
ὡς Τεισίμαχος ἐν τρίτῳ Κτίσεων* (FHGr. IV 471).

**6 B.** *ΡΩΜΑΙΩΝ πρὸς Πύρρον Ἠπειρώτην πολεμούν-*
B *των, Αἰμίλιος Παῦλος χρησμὸν ἔλαβε νικῆσαι, βωμὸν
ἐὰν ποιήσῃ, ἔνθα ἂν ἴδῃ χάσματι κρυπτόμενον ἄνδρα
τῶν ἐπισήμων μετὰ ἅρματος. μετὰ τρεῖς ἡμέρας Οὐαλέ-
ριος ⟨Τορ⟩κουᾶτος κατ' ὄναρ ἰδὼν ἀναλαβεῖν ἱερέως
κόσμον (καὶ γὰρ ἦν μαντικῆς ἔμπειρος), στρατηγήσας
καὶ πολλοὺς φονεύσας ὑπὸ γῆς κατεπόθη. ὁ Αἰμίλιος δὲ
βωμὸν ἱδρύσας ἐνίκησε καὶ ἑκατὸν ἑξήκοντα πυργοφόρους*